Μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη,
Τρόπον αἰγυπιῶν, οἵτ', ἐκπατίοις
Ἄλγεσι παίδων, ὕπατοι λεχέων
Στροφοδινοῦνται,
Πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι,
Δεμνιοτήρη
Πόνον ὀρταλίχων ὀλέσαντες·
Ὕπατος δ' ἀΐων ἤ τις Ἀπόλλων,
Ἢ Πὰν, ἢ Ζεὺς, οἰωνόθροον
Γόον ὀξυβόαν
Τῶνδε μετοίκων, ὑστερόποινον
Πέμπει παραβᾶσιν Ἐριννύν.
Οὕτω δ' Ἀτρέως παῖδας ὁ κρείσσων
Ἐπ' Ἀλεξάνδρῳ πέμπει ξένιος
Ζεὺς, πολυάνορος ἀμφὶ γυναικὸς,
Πολλὰ παλαίσματα καὶ γυιοβαρῆ,
Γόνατος κονίαισιν ἐρειδομένου,
Διακναιομένης τ' ἐν προτελείοις
Κάμακος, θήσων Δαναοῖσιν

---

48. κλάγξαντες Flor. Farn. var. lect. ap. Steph.

49. ἐκ πάγλοις suspicatur Blomf. male, nam nisi ἐκπατίοις additur, quam ob causam dolorem conceperint non intelligitur.

50. ἄλγεπι ποδῶν Ald. ἄλγεσσι ποδῶν Turn. ἄλγεσσι παίδων Vict. Stanl., rell. recte ἄλγεσι παίδων, nam ἄλγεσσι ex corrupto ποδῶν metri causa natum est. — ὕπαλτοι Ald.

52. ἐρεστόμενοι Ald.

53. δεμνιοτῆρι Ald.

54. γόνον conjecit Musgr., non improbante Blomf., sed hoc multo minus poeticum foret.

55. δαΐων Ald. — τις Ἀπόλλων, ut v. 1206. Σκύλλαν τινά.

58. Vulgo post μετοίκων virgula interpungitur, quam sensu postulante et auctore Pauwio Schütz. Both. Blomf. recte post ὀξυβόαν transposuerunt. μέτοικοι sunt pulli, qui nidis expulsi alias sedes habent, v. Reisig. ad Soph. Oed. Col. p. CXXV.

59. παρὰ βᾶσιν Ald. — Ἐριννύν Ald. Blomf., ut semper.

60. Ἄτρεος Turn.

63. τοι pro καὶ Both. ignorans graecismum notissimum, de quo ad Sept. Theb. 321. sermo fuit. — γαιοβαρῆ Turn.

64. ἐρειπομένου Farn. cum glossa πίπτοντος; idem, sed suprascr. vulg. Flor.

65. πρωτελείοις. Flor.

66. Δαναοῖσιν Guelph. Ald. Rob., quod pro vulg. Δαναοῖσι recepi. De sententia paroemiaco non finita v. Herm. El. metr. p. 379. ad Eur. Hecub. 69.